# Epicharmos

Fragmenta DK 23 B

**Fragmentum**

τεῖδ᾽ ἔνεστι πολλὰ καὶ παντοῖα, τοῖς χρήσαιό κα
ποτὶ φίλον, ποτ᾽ ἐχθρόν, ἐν δίκαι λέγων, ἐν ἁλίαι,
ποτὶ πονηρόν, ποτὶ καλόν τε κἀγαθόν, ποτὶ ξένον,
ποτὶ δύσηριν, ποτὶ πάροινον, ποτὶ βάναυσον, εἴτε τις
ἄλλ᾽ ἔχει κακόν τι. καὶ τούτοισι κέντρα τεῖδ᾽ ἔνο,
ἐν δὲ καὶ γνῶμαι σοφαὶ τεῖδ(ε), αἷσιν εἰ πείθοιτό τις,
δεξιώτερός τέ κ᾽ εἴη βελτίων τ᾽ ἐς πάντ᾽ ἀνήρ.

κοὔ τι πολλὰ δεῖ λέγειν, ἀλλ᾽ ἓμ μόνον, τοῦτ᾽ ὧν ἔπος ποττὸ πρᾶγμα ποτιφέροντα τῶνδ᾽ ἀεὶ τὸ συμφέρον.

αἰτίαν γὰρ ἦχον, ὡς ἄλλως μὲν εἴην δεξιός, μακρολόγος δ᾽ οὔ κα δυναίμαν ἐμ βραχεῖ γνώμας λέγειν.

ταῦτα δὴ ᾽γὼν εἰσακούσας συντίθημι τὰν τέχναν τάνδ᾽ ὅπως εἴπηι τι[ς]· ᾽Επίχαρμος σοφός τις ἐγένετο, [πόλλ᾽ ὃς εἶ]π᾽ ἀστεῖα καὶ παντοῖα καθ᾽ ἓν [ἔπος] λέγων, [πεῖραν] αὐταυτοῦ διδούς, ὡς καὶ β[ραχέα λέγειν ἔχει] ...

*ΕΚ ΤΩΝ ΑΛΚΙΜΟΥ ΠΡΟΣ ΑΜΥΝΤΑΝ ΑΒΓΔ*

**B 1 prae** = Diogenés Laertios, Vitae philosophorum III, 9-10

πολλὰ δὲ καὶ παρ᾽ ᾽Επιχάρμου τοῦ κωμωιδιοποιοῦ προσωφέληται τὰ πλεῖστα μεταγράψας, καθά φησιν Ἄλκιμος ἐν Τοῖς πρὸς ᾽Αμύνταν, ἅ ἐστι τέτταρα, ἔνθα καὶ ἐν τῶι πρώτωι (fr. 7; FHG IV, 297) φησὶ ταῦτα·

φαίνεται δὲ καὶ Πλάτων πολλὰ τῶν ᾽Επιχάρμου λέγων· σκεπτέον δέ. ὁ Πλάτων φησὶν αἰσθητὸν μὲν εἶναι τὸ μηδέποτε ἐν τῶι ποιῶι μηδὲ ποσῶι διαμένον, ἀλλ᾽ ἀεὶ ῥέον καὶ μεταβάλλον· (10) ὡς ἐξ ὧν ἄν τις ἀνέληι τὸν ἀριθμόν, τούτων οὔτε ἴσων οὔτε τινῶν οὔτε ποσῶν οὔτε ποιῶν ὄντων. ταῦτα δ᾽ ἐστὶν ὧν ἀεὶ γένεσις, οὐσία δὲ μηδέποτε πέφυκε. νοητὸν δὲ ἐξ οὗ μηθὲν ἀπογίνεται μηδὲ προσγίνεται. τοῦτο δ᾽ ἐστὶν ἡ τῶν ἀιδίων φύσις, ἣν ὁμοίαν τε καὶ τὴν αὐτὴν ἀεὶ συμβέβηκεν εἶναι. καὶ μὴν ὅ γε ᾽Επίχαρμος περὶ τῶν αἰσθητῶν καὶ νοητῶν ἐναργῶς εἴρηκεν· (B 1).

**B 1** = Diogenés Laertios, Vitae philosophorum III, 10

- ἀλλ᾿ ἀεί τοι θεοὶ παρῆσαν χὐπέλιπον οὐ πώποκα,
τάδε δ᾿ ἀεὶ πάρεσθ᾿ ὁμοῖα διά τε τῶν αὐτῶν ἀεί.
- ἀλλὰ λέγεται μὰν Χάος πρᾶτον γενέσθαι τῶν θεῶν.
- πῶς δέ κα; μὴ ἔχον γ᾿ ἀπό τινος μηδ᾿ ἐς ὅ τι πρᾶτον μόλοι.
- οὐκ ἄρ᾿ ἔμολε πρᾶτον οὐθέν; - ᾿οὐδὲ μὰ Δία δεύτερον
τῶνδέ γ᾿ ὧν ἁμὲς νῦν ὧδε λέγομες, ἀλλ᾿ ἀεὶ τάδ᾿ ἦς.

καί· (B 2).

**B 2** /1 = Diogenés Laertios, Vitae philosophorum III, 10-13

- [αἰ] πὸτ ἀριθμόν τις περισσόν, αἰ δὲ λῆις πὸτ ἄρτιον,
(11) ποτθέμειν λῆι ψᾶφον ἢ καὶ τᾶν ὑπαρχουσᾶν λαβεῖν,
ἦ δοκεῖ κά τοί γ᾿ [ἔθ᾿] ωὑτὸς εἶμεν; - οὐκ ἐμίν γά κα.
- οὐδὲ μὰν οὐδ᾿ αἰ ποτὶ μέτρον παχυαῖον ποτθέμειν
λῆι τις ἕτερον μᾶκος ἢ τοῦ πρόσθ᾿ ἐόντος ἀποταμεῖν,
ἔτι χ᾿ ὑπάρχοι κῆνο τὸ μέτρον; - οὐ γάρ. - ὧδε νῦν ὅρη
καὶ τὸς ἀνθρώπως· ὁ μὲν γὰρ αὔξεθ᾿, ὁ δέ γα μὰν φθίνει,
ἐν μεταλλαγᾶι δὲ πάντες ἐντὶ πάντα τὸν χρόνον.
ὃ δὲ μεταλλάσσει κατὰ φύσιν κοὔποκ᾿ ἐν ταὐτῶι μένει,
ἕτερον εἴη κα τόδ᾿ ἤδη τοῦ παρεξεστακότος,
καὶ τὺ δὴ κἀγὼ χθὲς ἄλλοι καὶ νὺν ἄλλοι τελέθομες,
καὖθις ἄλλοι κοὔποχ᾿ ωὑτοὶ καττὸν [αὐτὸν αὖ] λόγον.

(12) ἔτι φησὶν ὁ Ἄλκιμος καὶ ταυτί·

φασὶν οἱ σοφοὶ τὴν ψυχὴν τὰ μὲν διὰ τοῦ σώματος αἰσθάνεσθαι, οἷον ἀκούουσαν, βλέπουσαν· τὰ δ᾿ αὐτὴν καθ᾿ αὑτὴν ἐνθυμεῖσθαι, μηδὲν τῶι σώματι χρωμένην. διὸ καὶ τῶν ὄντων τὰ μὲν αἰσθητὰ εἶναι, τὰ δὲ νοητά. ὧν ἕνεκα καὶ Πλάτων ἔλεγεν ὅτι δεῖ τοὺς συνιδεῖν τὰς τοῦ παντὸς ἀρχὰς ἐπιθυμοῦντας πρῶτον μὲν αὐτὰς καθ᾿ αὑτὰς διελέσθαι τὰς ἰδέας, οἷον ὁμοιότητα καὶ μονάδα καὶ πλῆθος καὶ μέγεθος καὶ στάσιν καὶ κίνησιν· δεύτερον αὐτὸ καθ᾿ αὑτὸ τὸ καλὸν καὶ ἀγαθὸν καὶ δίκαιον καὶ τὰ τοιαῦτα ὑποθέσθαι. τρίτον τῶν ἰδεῶν συνιδεῖν ὅσαι πρὸς ἀλλήλας εἰσίν, οἷον ἐπιστήμην ἢ μέγεθος ἢ δεσποτείαν, ἐνθυμουμένους ὅτι τὰ παρ᾿ ἡμῖν διὰ τὸ μετέχειν ἐκείνων ὁμώνυμα ἐκείναις ὑπάρχει· λέγω δὲ οἷον δίκαια μὲν ὅσα τοῦ δικαίου, καλὰ δὲ ὅσα τοῦ καλοῦ. ἔστι δὲ τῶν εἰδῶν ἓν ἕκαστον ἀίδιόν τε καὶ νόημα καὶ πρὸς τούτοις ἀπαθές· διὸ καί φησιν (Parm. 132d) ἐν τῆι φύσει τὰς ἰδέας ἑστάναι καθάπερ

παραδείγματα, τὰ δ᾽ ἄλλα ταύταις ἐοικέναι τούτων ὁμοιώματα καθεστῶτα. (13) ὁ τοίνυν Ἐπίχαρμος περί τε τοῦ ἀγαθοῦ καὶ περὶ τῶν ἰδεῶν οὕτω λέγει· (B 3).

**B 2** /2 = Cfr.: Plútarchos, De communibus notitiis adversus Stoicos 44; 1083a
ὁ τοίνυν περὶ αὐξήσεως λόγος ἐστὶ μὲν ἀρχαῖος· ἠρώτηται γάρ, ὥς φησι Χρύσιππος, ὑπ᾽ Ἐπιχάρμου.

**B 2** /3 = Plútarchos, De sera numinis vindicta 15; 559a
ταῦτά γε τοῖς Ἐπιχαρμείοις ἔοικεν, ἐξ ὧν ὁ αὐξόμενος ἀνέφυ τοῖς σοφισταῖς λόγος· ὁ γὰρ λαβὼν πάλαι τὸ χρέος νῦν οὐκ ὀφείλει γεγονὼς ἕτερος· ὁ δὲ κληθεὶς ἐπὶ δεῖπνον ἐχθὲς ἄκλητος ἥκει τήμερον· ἄλλος γάρ ἐστι.

**B 2** /4 = Anonym. In Platon. Theaetetus 71, 26 (secundum Hérakleitos B 126b)
καὶ ἐκωμῴδησεν αὐτὸ ἐπὶ τοῦ ἀπαιτουμένου συμβολὰς καὶ ἀρνουμένου τοῦ αὐτοῦ εἶναι διὰ τὸ τὰ μὲν προσγεγενῆσθαι, τὰ δὲ ἀπεληλυθέναι, ἐπεὶ δὲ ὁ ἀπαιτῶν ἐτύπτησεν αὐτὸν καὶ ἐνεκαλεῖτο, πάλιν κἀκείνου φάσκοντος ἕτερον μὲν εἶναι τὸν τετυπτηκότα, ἕτερον δὲ τὸν ἐγκαλούμενον.

**B 3** = Diogenés Laertios, Vitae philosophorum III, 14-15
(14) - ἆρ᾽ ἔστιν αὔλησίς τι πρᾶγμα; - πάνυ μὲν οὖν.
- ἄνθρωπος οὖν αὔλησίς ἐστιν; - οὐθαμῶς.
- φέρ(ε) ἴδω, τί δ᾽ αὐλητάς; τίς εἶμέν τοι δοκεῖ;
ἄνθρωπος, ἢ οὐ γάρ; - πάνυ μὲν οὖν.
- οὐκ οὖν δοκεῖς
οὕτως ἔχειν [κα] καὶ περὶ τἀγαθοῦ; τὸ μὲν
ἀγαθὸν τὸ πρᾶγμ[α] εἶμεν καθ᾽ αὔθ᾽· ὅστις δέ κα
εἰδῆι μαθὼν τῆν(ο), ἀγαθὸς ἤδη γίγνεται.
ὥσπερ γάρ ἐστ᾽ αὔλησιν αὐλητὰς μαθὼν
ἢ ὄρχησιν ὀρχηστάς τις ἢ πλοκεὺς πλοκάν,
ἢ πᾶν γ᾽ ὁμοίως τῶν τοιούτων ὅ τι τὺ λῇις,
οὐκ αὐτὸς εἴη κα τέχνα, τεχνικός γα μάν.

(15) Πλάτων ἐν τῆι περὶ τῶν ἰδεῶν ὑπολήψει (Phaedo 96b) φησίν, εἴπερ ἔστι μνήμη, τὰς ἰδέας ἐν τοῖς οὖσιν ὑπάρχειν διὰ τὸ τὴν μνήμην ἠρεμοῦντός τινος καὶ μένοντος εἶναι· μένειν δὲ οὐδὲν ἕτερον ἢ τὰς ἰδέας. ‘τίνα γὰρ ἂν τρόπον’, φησί, ‘διεσώιζετο τὰ ζῶια μὴ τῆς ἰδέας ἐφαπτόμενα, καὶ πρὸς τοῦτο τὸν νοῦν φυσικῶς εἰληφότα; νῦν δὲ μνημονεύει (cfr. Parm. 129) τῆς ὁμοιότητος [γενέσεώς] τε καὶ τροφῆς, ὁποία τίς ἐστιν

αὐτοῖς, ἐνδεικνύμενα διότι πᾶσι τοῖς ζώιοις ἔμφυτός ἐστιν ἡ τῆς ὁμοιότητος θεωρία· διὸ καὶ τῶν ὁμοφύλων αἰσθάνεται′. πῶς οὖν ὁ ᾿Επίχαρμος· (B 4).

**B 4** = Diogenés Laertios, Vitae philosophorum III, 16

(16) Εὔμαιε, τὸ σοφόν ἐστιν οὐ καθ᾿ ἓν μόνον,
ἀλλ᾿ ὅσσα περ ζῆι, πάντα καὶ γνώμαν ἔχει.
καὶ γὰρ τὸ θῆλυ τᾶν ἀλεκτορίδων γένος,
αἰ λῆις καταμαθεῖν ἀτενές, οὐ τίκτει τέκνα
ζῶντ[α], ἀλλ᾿ ἐπώιζει καὶ ποιεῖ ψυχὰν ἔχειν.
τὸ δὲ σοφὸν ἁ φύσις τόδ᾿ οἶδεν ὡς ἔχει
μόνα· πεπαίδευται γὰρ αὐταύτας ὕπο.

καὶ πάλιν· (B 5).

**B 5** = Diogenés Laertios, Vitae philosophorum III, 16 -17

θαυμαστὸν οὐδὲν ἁμὲ ταῦθ᾿ οὕτω λέγειν
καὶ ἁνδάνειν αὐτοῖσιν αὐτοὺς καὶ δοκεῖν
καλῶς πεφύκειν· καὶ γὰρ ἁ κύων κυνί
κάλλιστον εἶμεν φαίνεται, καὶ βοῦς βοΐ,
ὄνος δ[ὲ] ὄνωι κάλλιστον, ὗς δέ θην ὑί.

(17) καὶ ταῦτα μὲν καὶ τὰ τοιαῦτα διὰ τῶν τεττάρων βιβλίων παραπήγνυσιν ὁ Ἄλκιμος, παρασημαίνων τὴν ἐξ ᾿Επιχάρμου Πλάτωνι περιγενομένην ὠφέλειαν. ὅτι δ᾿ οὐδ᾿ αὐτὸς ᾿Επίχαρμος ἠγνόει τὴν αὑτοῦ σοφίαν, μαθεῖν ἔστι κἀκ τούτων ἐν οἷς τὸν ζηλώσοντα προμαντεύεται· (B 6).

**B 6** = Diogenés Laertios, Vitae philosophorum III, 17

ὡς δ[ὲ] ἐγὼ δοκέω δοκέων γάρ; σάφα ἴσαμι τοῦθ᾿, ὅτι
τῶν ἐμῶν μνάμα ποκ᾿ ἐσσεῖται λόγων τούτων ἔτι.
καὶ λαβών τις αὐτὰ περιδύσας τὸ μέτρον ὃ νῦν ἔχει,
εἶμα δοὺς καὶ πορφυροῦν, λόγοισι ποικίλας καλοῖς,
δυσπάλαιστος ὢν τὸς ἄλλως εὐπαλαίστους ἀποφανεῖ.

**B 7** = Eustratios, In Aristotelis ethica Nicomachea III, 7; p. 155, 10 Heylb.

ἐν ῾Ηρακλεῖ τῶι παρὰ Φόλωι·

ἀλλὰ μὰν ἐγὼν ἀνάγκαι ταῦτα πάντα ποιέω·
οἴομαι δ᾿ οὐδεὶς ἑκὼν πονηρὸς οὐδ᾿ ἄταν ἔχων.

*ΑΞΙΟΠΙΣΤΟΥ ΓΝΩΜΑΙ*

**B 8** = Stobaios, Anthologium IV, 31, 30 (Μενάνδρου, 537 Kock; cfr. B 53)

ὁ μὲν Ἐπίχαρμος τοὺς θεοὺς εἶναι λέγει
ἀνέμους, ὕδωρ, γῆν, ἥλιον, πῦρ, ἀστέρας·
ἐγὼ δ᾽ ὑπέλαβον χρησίμους εἶναι θεούς
τἀργύριον ἡμῖν καὶ τὸ χρυσίον μόνους.

**B 9** = Plútarchos, Consolatio ad Apollonium 15; 110a (cfr. B 48)

συνεκρίθη καὶ διεκρίθη κἀπῆλθεν ὅθεν ἦλθεν πάλιν, γᾶ μὲν εἰς γᾶν, πνεῦμα δ᾽ ἄνω· τί τῶνδε χαλεπόν; οὐδὲ ἕν.

**B 10** = Kléméns Alexandrijský, Stromata IV, 45

ἅ γα φύσις ἀνδρῶν τί ὦν; ἀσκοὶ πεφυσιαμένοι.

**B 11** = Sextos Empeirikos, Adversus mathematicos I, 273

ἀποθανεῖν [μὴ εἴ]η, τεθνάκειν δ᾽ οὐκ ἐμίν [γα] διαφέρει.

**B 12** = Plútarchos, De Alexandri magni fortuna aut virtute II, 3; 336b (cfr. De fortuna 98c; cfr. Xenofanés B 24)

εἰ μὲν γάρ, ὥς φησιν Ἐπίχαρμος·

νοῦς ὁρῇ καὶ νοῦς ἀκούει, τἄλλα δὲ τυφλὰ καὶ κωφά,

λόγου τυγχάνει δεόμενα. αἱ γὰρ αἰσθήσεις ἰδίας ἔχειν ἀφορμὰς δοκοῦσιν, ὅτι δὲ νοῦς ὠφελεῖ καὶ νοῦς κοσμεῖ καὶ νοῦς τὸ νικῶν καὶ κρατοῦν καὶ βασιλεῦον, τὰ δ᾽ ἄλλα τυφλὰ καὶ κωφὰ καὶ ἄψυχα παρέλκει καὶ βαρύνει καὶ καταισχύνει χωρὶς ἀρετῆς τοὺς ἔχοντας, ἀπὸ τῶν πραγμάτων λαβεῖν ἔστι.

**B 13** = Polybios, Historiae XVIII, 40, 4

νᾶφε καὶ μέμνασ᾽ ἀπιστεῖν· ἄρθρα ταῦτα τᾶν φρενῶν.

**B 14** = Aristotelés, Metaphysica XIII, 9; p. 1086a 16

χαλεπὸν δ᾽ ἐκ μὴ καλῶς ἐχόντων λέγειν καλῶς κατ᾽ Ἐπίχαρμον· ἀρτίως τε γὰρ λέλεκται καὶ εὐθέως φαίνεται οὐ καλῶς ἔχον.

**B 15** = Aristotelés, Metaphysica IV, 5; 1010a 5 (= Xenofanés A 15)

διὸ εἰκότως μὲν λέγουσιν, οὐκ ἀληθῆ δὲ λέγουσιν οὕτω γὰρ ἁρμόττει μᾶλλον εἰπεῖν ἢ ὥσπερ Ἐπίχαρμος εἰς Ξενοφάνην.

**B 16** = Athénaios, Deipnosophistae VII, 308c
τὰ πρὸ τοῦ δύ᾽ ἄνδρες ἔλεγον, εἷς ἐγὼν ἀποχρέω.

**B 17** = Stobaios, Anthologium III, 37, 18 H.
ὁ τρόπος ἀνθρώποισι δαίμων ἀγαθός, οἷς δὲ καὶ κακός.

**B 18** = Anecd. Boiss. I, 125
ἐφόδιον θνατοῖς μέγιστόν ἐστιν εὐσεβὴς βίος.

**B 19** = Aristotelés, Rhetorica II, 21; 1394b13
ἀνδρὶ δ᾽ ὑγιαίνειν ἄριστόν ἐστιν, ὥς γ᾽ ἐμὶν δοκεῖ.

**B 20** = Aristotelés, Rhetorica II, 21; 1394b25
θνατὰ χρὴ τὸν θνατόν, οὐκ ἀθάνατα τὸν θνατὸν φρονεῖν.

**B 20a** = Aristotelés, Rhetorica III, 9; 1410b3
τόκα μὲν ἐν τήνων ἐγὼν ἦν, τόκα δὲ παρὰ τήνοις ἐγών.

**B 21** = Cicero, Ad Qu. fr. III, 1, 23

γνῶθι πῶς ἄλλωι κέχρηται ...

**B 22** = Kléméns Alexandrijský, Stromata IV, 170

εὐσεβὴς νόωι πεφυκὼς οὐ πάθοις κ᾽ οὐδὲν κακόν
κατθανών· ἄνω τὸ πνεῦμα διαμενεῖ κατ᾽ οὐρανόν.

**B 23** = Kléméns Alexandrijský, Stromata V, 101
ὁ μὲν Ἐπίχαρμος (Πυθαγόρειος δὲ ἦν) λέγων

οὐδὲν ἐκφεύγει τὸ θεῖον· τοῦτο γινώσκειν σε δεῖ·
αὐτός ἐσθ᾽ ἁμῶν ἐπόπτης, ἀδυνατεῖ δ᾽ οὐδὲν θεός.

**B 24** = Kléméns Alexandrijský, Stromata VI, 12

ὡς πολὺν ζήσων χρόνον χὡς ὀλίγον, οὕτως διανοοῦ.

**B 25** = Kléméns Alexandrijský, Stromata VI, 21

ἐγγύα [δ᾽] ἄτας [γα] θυγάτηρ, ἐγγύας δὲ ζαμία.

**B 26** = Kléméns Alexandrijský, Stromata VII, 27

καθαρὸν ἂν τὸν νοῦν ἔχῃις, ἅπαν τὸ σῶμα καθαρὸς εἶ.

**B 27** = Lucius Annaeus Cornutus, De natura deorum, p. 18 Lang (Cornuti theologiae Graecae compendium)

ἧς χωρὶς οὐδὲν σεμνὸν ἐξευρίσκεται

κατὰ τὸν κωμικόν. τούτου δ᾽ ἕνεκεν καὶ ἐπὶ ἐννέα νύκτας λέγεται συγγενόμενος τῇ Μνημοσύνῃ ὁ Ζεὺς γεννῆσαι αὐτάς· καὶ γὰρ τῆς ἐν νυκτὶ ζητήσεως δεῖ πρὸς τὰ κατὰ παιδείανῥ εὐφρόνην γοῦν οὐ δι᾽ ἄλλο τι οἱ ποιηταὶ τὴν νύκτα ἐκάλεσαν, καὶ ὁ ᾽Επίχαρμος αὐτίκα

αἴτε τι, φησί, ζατεῖ σοφόν τις, νυκτὸς ἐνθυμητέον,

(H. Diels: αἴ τί κα ζατῆις σοφόν, τᾶς νυκτὸς ἐνθυμητέον.)

καί· (B 28).

**B 28** = Lucius Annaeus Cornutus, De natura deorum, p. 18 Lang

πάντα τὰ σπουδαῖα νυκτὸς μᾶλλον ἐξευρίσκεται.

(τινὲς δ᾽ Οὐρανοῦ καὶ Γῆς ἔφασαν αὐτὰς φῦναι ὡς ἀρχαιότατον ἡγεῖσθαι τὸν περὶ τούτων λόγον δέοντος). στεφανοῦνται δὲ φοίνικι, ὡς μέν τινες νομίζουσιν, διὰ τὴν ὁμωνυμίαν, ἀπὸ τοῦ Φοινίκων δοκεῖν εὕρημα εἶναι τὰ γράμματα, ὡς δ᾽ εὐλογώτερόν ἐστ᾽ ἔχειν, διὰ τὸ τρυφερὸν καὶ εὐερνὲς καὶ ἀείζωον καὶ δυσανάβατον καὶ γλυκύκαρπον τοῦ φυτοῦ.

**B 29** = Gellius I, 15, 15

οὐ λέγειν τύ γ᾽ ἐσσὶ δεινός, ἀλλὰ σιγᾶν ἀδύνατος.

**B 30** = Pseudo-Platón, Axiochos 366c

ἁ δὲ χεὶρ τὰν χεῖρα νίζει·

δός τι καὶ λάβοις τί κα.

**B 31** = Plútarchos, Popl. 15 (πρὸς τὸν ἄσωτον)

οὐ φιλάνθρωπος τύ γ᾽ ἔσσ᾽, ἔχεις νόσον· χαίρεις διδούς.

**B 32** = Plútarchos, De aud. poet. 4; p. 21e

ποτὶ [τὸν] πονηρὸν οὐκ ἄχρηστον ὅπλον ἁ πονηρία.

**B 33** = Stobaios, Anthologium III, 29, 54 H.

ἁ δὲ μελέτα φύσιος ἀγαθᾶς πλέονα δωρεῖται, φίλοι.

**B 34** = Stobaios, Anthologium III, 38, 21 H.

τίς δέ κα λῴη γενέσθαι μὴ φθονούμενος, φίλοι;
δῆλον ὡς ἀνὴρ παρ᾽ οὐδέν ἐσθ᾽ ὁ μὴ φθονούμενος·
τυφλὸν ἠλέησ᾽ ἰδών τις, ἐφθόνησε δ᾽ οὐδὲ εἷς.

**B 35** = Stobaios, Anthologium IV, 23, 37 H.

σώφρονος γυναικὸς ἀρετὰ τὸν συνόντα μὴ ἀδικεῖν [ἄνδρα].

**B 36** = Xenofón, Memorabilia II, 1, 20

μαρτυρεῖ δὲ καὶ Ἐπίχαρμος ἐν τῶιδε·

τῶν πόνων πωλοῦσιν ἡμῖν πάντα τἀγάθ᾽ οἱ θεοί.

καὶ ἐν ἄλλωι δὲ τόπωι φησίν· (B 37).

**B 37** = Xenofón, Memorabilia II, 1, 20

ὦ πονηρέ, μὴ τὰ μαλακὰ μῶσο, μὴ τὰ σκλήρ᾽ ἔχῃς.

**B 38** = Stobaios, Anthologium II, 15, 7

πρὸς [δὲ] τὸς πέλας πορεύου λαμπρὸν ἱμάτιον ἔχων,
καὶ φρονεῖν πολλοῖσι δόξεις, τυχὸν ἴσως [οὐδὲν φρονῶν].

**B 39** = Stobaios, Anthologium II, 15, 18

τῶι λόγωι μὲν εὖ διέρχηι πάντα, τῶι δ᾽ ἔργωι κακῶς.

**B 40** = Stobaios, Anthologium II, 31, 25

φύσιν ἔχειν ἄριστόν ἐστι, δεύτερον δὲ [μανθάνειν].

**B 41** = Stobaios, Anthologium III, 1, 10 H.

οὐ μετανοεῖν ἀλλὰ προνοεῖν χρὴ τὸν ἄνδρα τὸν σοφόν.

**B 42** = Stobaios, Anthologium III, 20, 8 H.

μὴ [ἐ]πὶ μικροῖς αὐτὸς αὑτὸν ὀξύθυμον δείκνυε.

**B 43** = Stobaios, Anthologium III, 20, 9 H.

ἐπιπολάζειν οὔ τι χρὴ τὸν θυμόν, ἀλλὰ τὸν νόον.

**B 44** = Stobaios, Anthologium III, 20, 10 H.
οὐδὲ εἷς οὐδὲν μετ᾽ ὀργῆς κατὰ τρόπον βουλεύεται.

**B 44a** = Ostrakon 12319 (Wilamowitz Berl. Sitz. Ber. 1918; 742, 1.2 )
ΤΑΛΕΑΣ γάρ ἐσθ᾽ ὁ φρόνιμος· ὡς δὲ τοῦθ᾽ οὕτως ἔχει·
χῶρος οἰκία τυραννὶς πλοῦτος ἰσχὺς καλλονά
ἄφρονος ἀνθρώπου τυχόντα καταγέλαστα γίνεται.
ἁδοναὶ δ᾽ εἰσὶν βροτοῖσιν ἀνόσιοι λαστήριοι·
καταπεπόντισται γὰρ εὐθὺς ἁδοναῖς ἀνὴρ ἁλούς.

**B 45** = Anthol. Mahaff. (Flinders Petrie Pap. I t. 3)
Ἐπιχάρμου
[ἥκιστά γ᾽ ὅσ]τις δυστυχῶν βίον τ᾽ ἔχων
[μηδὲν καλόν] τε κἀγαθὸν ψυχᾶι διδῶι,
[ἐγὼν μὲν αὐτὸ]ν οὔτι φασῶ μακάριον,
[φύλακα δὲ μ]ᾶλλον χρημάτων ἄλλωι τε[λεῖν.
Ἐυριπίδου (fr. 198 N.)
εἰ δ᾽ εὐτυχῶν τις καὶ βίον κεκτημένος
μηδὲν δόμοισι τῶν καλῶν θηράσεται,
ἐγὼ μὲν αὐτὸν οὔποτ᾽ ὄλβιον καλῶ,
φύλακα δὲ μᾶλλον χρημάτων ἄλλων λέγω.

**B 46** = Filón Alex., Quaest. in Gen. IV, 203; p. 406 Auch.
porro optime dixit Epicharmus ‘quicunque, ait, minus delinquit, optimus est vir: nemo est enim innocens, nemo reprehensionis expers.’ et Euripides (fr. 954 N.) ‘quicunque incontinentes sunt et redundat in eis malum inimicitiae et iniustitiae, mali sunt in quibus autem opposita praevalent, virtute praediti in aliis vero ita, quasi aequalis sit commixtio ita ut nulli sint qui omnia mala habeant sine ullo bono.’

*EPICHARMOS ENNI*

**B 47** = Cicero, Ac. II, 16, 51
at cum somniavit, ita narravit ‘visus Homerus adesse poeta’ (Ann. 7) idemque in Epicharmo
nam videbar somniare med ego esse mortuum.

**B 48** = Prisc. I, 341 H. (mentis = mens; cfr. B 9)
terra corpus est, at mentis ignis est.

**B 49** = Varro, De re rust. I, 4, 1
eius [agriculturae] principia sunt eadem, quae mundi esse Ennius scribit, aqua terra anima et sol.

**B 50** = Varro, De lingua latina V, 10, 59
itaque Epicharmus dicit de mente humana. ait:
istic est de sole sumptus ignis.

**B 50a** = Varro, De lingua latina V, 10, 59-60
idem solem:
isque totus mentis est,
ut humores frigidae sunt humi, ut supra ostendi. 60. quibus iunctis caelum et terra omnia exgenuerunt, quod per hos natura

**B 51** = Varro, De lingua latina V, 10, 60
frigori miscet calorem atque humori aritudinem.

**B 52** = Varro, De lingua latina V, 10, 64
dicitur Ops mater quod terra mater. haec enim
terris gentis omnis peperit et resumit penuo
quae ...... dat cibaria,
ut ait Ennius. quae

**B 52a** = Varro, De lingua latina V, 10, 59
quod gerit fruges, Ceres.
antiquis enim, quod nunc item hi dei Caelum et Terra Iupiter et Iuno, quod ut ait Ennius

**B 53** = Varro, De lingua latina V, 10, 64
istic est is Iupiter quem dico, quem Graeci vocant
aerem qui ventus est et nubes, imber postea,
atque ex imbre frigus, ventus post fit, aer denuo.
haece propter Iupiter sunt ista quae dico tibi,
quia mortalis [is] atque urbes beluasque omnis iuvat.

**B 54** = Varro, De lingua latina V, 10, 68
hinc Epicharmus Enni Proserpinam quoque [lunam] appellat quod solet esse sub terris dicta Proserpina, quod serpens modo in dexteram modo in sinisteram partem late movetur.

## ΑΞΙΟΠΙΣΤΟΥ ΚΑΝΩΝ

**B 55** = Tertullianus, De anima 46 (p. 377, 8 Wiss.)
ceterum Epicharmos etiam summum apicem inter divinationes somniis extulit cum Philochoro Atheniensi. (47) porro quia non est ex arbitrio somniare (nam et Epicharmos ita sentit), quomodo ipsa erit sibi causa alicuius visionis?

## *ΧΡΥΣΟΓΟΝΟΥ ΠΟΛΙΤΕΙΑ*

**B 56** = Kléméns Alexandrijský, Stromata V, 119
ὅ τε κωμικὸς Ἐπίχαρμος σαφῶς περὶ τοῦ λόγου ἐν τῆι Πολιτείαι λέγει ὧδέ πως·

ὁ βίος ἀνθρώποις λογισμοῦ κἀριθμοῦ δεῖται πάνυ·
ζῶμεν (δὲ) ἀριθμῶι καὶ λογισμῶι· ταῦτα γὰρ σώιζει βροτούς.

**B 57** = Kléméns Alexandrijský, Stromata V, 119
εἶτα διαρρήδην ἐπιφέρει·

ὁ λόγος ἀνθρώπους κυβερνᾶι κατὰ τρόπον σώιζει·

εἶτα, εἰ

ἔστιν ἀνθρώπῳ λογισμός, ἔστι καὶ θεῖος λόγος·
[ὃ μὲν ἐν] ἀνθρώπῳ πέφυκεν περὶ βίου καταστροφάς·
ὃ δέ γε τᾶς τέχνας ἅπασι συνέπεται θεῖος λόγος,
ἐκδιδάσκων [αἰεὶ] αὐτὸς αὐτούς, ὅ τι ποιεῖν δεῖ συμφέρον·
οὐ γὰρ ἄνθρωπος τέχναν εὗρ[εν]· ὁ δὲ θεὸς ταύταν φέρει.
ὁ δέ γε τἀνθρώπου [λόγος] πέφυκεν ἀπό γε τοῦ θείου λόγου.

Diles-Kranz:
εἶτα διαρρήδην ἐπιφέρει·

ὁ λόγος ἀνθρώπους κυβερνᾶι κατὰ τρόπον σώιζει τ' ἀεί.
ἔστιν ἀνθρώπωι λογισμός, ἔστι καὶ θεῖος λόγος·
ὁ δέ γε τἀνθρώπου πέφυκεν ἀπό γε τοῦ θείου λόγου,
[καὶ] φέρει [πόρους ἑκάστωι] περὶ βίου καὶ τᾶς τροφᾶς.
ὁ δέ γε ταῖς τέχναις ἁπάσαις συνέπεται θεῖος λόγος,
ἐκδιδάσκων αὐτὸς αὐτούς, ὅ τι ποιεῖν δεῖ συμφέρον.

οὐ γὰρ ἄνθρωπος τέχναν τιν᾽ εὗρεν, ὁ δὲ θεὸς τοπάν.

*ΧΙΡΩΝ*

**B 58** = Athénaios, Deipnosophistae XIV, 648d
Διόδωρος δ᾽ ἐν ᾽Ιταλικαῖς Γλώσσαις καὶ ῾Ηράκλειτος, ὥς φησι Πάμφιλος, τὴν κοτύλην καλεῖσθαι καὶ ἡμίναν, παρατιθέμενος ᾽Επιχάρμου (p. 296 L)·

καὶ πιεῖν ὕδωρ διπλάσιον χλιαρόν, ἡμίνας δύο.

**B 58a** = Anecd. Bekk. Antiattic. 98, 32
ἡμιλίτριον· ᾽Επίχαρμος Χίρωνι.

**B 59** = Censorinus VII, 6 (= Dox. 195)
contra eum ferme omnes Epicharmum secuti octava mense nasci negaverunt.

**B 60** = Columella VII, 3, 6
Epicharmos autem Syracusanus, qui pecudum medicinas diligentissime conscripsit, affirmat pugnacem arietem mitigari terebra secundum auriculas foratis cornibus, qua curvantur in flexu.

**B 61** = Plinius, Naturalis historia XX, 89
Epicharmos testium et genitalium malis hanc [brassicam] utilissime inponi etc.

**B 62** = Plinius, Naturalis historia XX, 94
Epicharmos satis esse eam [brassicam silvestrem] contra canis rabiosi morsum imponi, melius si cum lasere et aceto acri, necari quoque canes ea si detur ex carne.

*ΟΨΟΠΟΙΙΑ*

**B 63** = Anecd. Bekk. Antiattic. 99, 1 (= B 58? cfr. B 58a)
ἡμίνα· ἐν τῆι ἀναφερομένηι εἰς ᾽Επίχαρμον ᾽Οψοποιίαι

*ΕΠΙΓΡΑΜΜΑ*

**B 64** = Schol. BT ad C,414 (296)

ἔστι δὲ καὶ ἐπίγραμμα ὃ εἰς Ἐπίχαρμον ἀναφέρεται·

εἰμὶ νεκρός· νεκρὸς δὲ κόπρος, γῆ δ᾽ ἡ κόπρος ἐστίν·
εἰ δ᾽ ἡ γῆ θεός ἐστ᾽, οὐ νεκρός, ἀλλὰ θεός.

*ΠΡΟΣ ΑΝΤΗΝΟΡΑ*

**B 65** = Plútarchos, Numa 8

Πυθαγόραν τῆι πολιτείαι Ῥωμαῖοι προσέγραψαν, ὡς ἱστόρηκεν Ἐπίχαρμος ὁ κωμικὸς ἔν τινι λόγωι πρὸς Ἀντήνορα γεγραμμένωι, παλαιὸς ἀνὴρ καὶ τῆς Πυθαγορικῆς διατριβῆς μετεσχηκώς.